προκατασκευάζει, ὥς φασι, τῆς κατ' αὐτοῦ κατηγορίας τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο· καὶ προδιαβάλλει αὐτὸν πρὸς τοὺς Ἀθηναίους.

ὁ λόγος

Τῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων περὶ ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην, ἀεὶ τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνόμενον δ' οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόντων, οὐδ' ὧν ἕνεκα ταῦτα ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦθ' ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει, ὥστε ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιππον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον εἶναι· αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δεῖ· πρῶτον μὲν ἡμεῖς οἱ παριόντες, τούτων μὲν ἀφέσταμεν καὶ γράφειν καὶ συμβουλεύειν, διὰ τὴν